TEZAUR LITURGIC

**12 OCTOMBRIE**

**ANTONIOS MARKOU**

# PARACLISUL SF.IERARH COSMA, EPISCOPUL MAIUMEI

**ATENA,2020**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# Παρακλητικός Κανών εις τον Όσιο Κοσμά τον Μελωδό, Επίσκοπο Μαιουμά

**Ποίημα Αντωνίου Μάρκου**

Εὐλογήσαντος τοῦ ἱερέως ἀρχόμεθα ἀναγινώσκοντες τον ΡΜΒ’ (142) Ψαλμόν.

Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος α΄. Ἐξομολογεῖσθε τῷ Κυρίω, καί ἐπικαλεῖσθε τό ὄνομα τό ἅγιον αὐτοῦ.
Στίχ. β’. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Στίχ. γ’. Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.

Εἶτα τά Τροπάρια·

Ἦχος δ΄. Ὁ Ὑψωθείς ἐν τῷ Σταυρῷ.
Τῷ τοῦ Κυρίου Μελωδῷ εὐημόλπῳ, τῷ διά μέλους κηρύξαντι λόγον, Λόγου τοῦ μόνου ὑπάρχοντος Χριστοῦ τοῦ Θεοῦ, ἅπαντες βοήσωμεν οἱ πιστοί μετά πόθου, Κοσμᾶ χαίροις θειότατε, Ποιητῶν ἡ ἀκρότης, ἡμᾶς μή παύεις ἐκδιδάσκων ἀνυμνεῖν καί ἀναπέμπειν Κυρίῳ τήν αἴνεσιν.

Δόξα. Τό αὐτό. Καί νῦν. Θεοτοκίον. Ὅμοιον.
Τῇ Θεοτόκῳ ὡς μητρί ἐκβοῶμεν, οἱ τυραννούμενοι ἐχθροῦ δυναστείᾳ, τῇ θεϊκῇ Σου σκέπασον ἀγάπῃ ἡμᾶς· σπεῦσον, Κόρη, ῥύσασθαι τῶν τοῦ Βελίαρ παγίδων, ὁμοῦ Κοσμᾷ θεόφρονι, καί τῆς δαιμόνων μανίας· οὗτος οὐ παύει γάρ αἰτεῖσθαι ὑπέρ ἡμῶν, τῇ Σῇ πρεσβείᾳ Κυρίου τό ἔλεος.

Ὁ Ν’ (50) Ψαλμός.

Ὁ Κανών, οὗ ἡ ἀκροστιχίς·
ΚΟΣΜΑΣ Ο ΜΕΛΩΔΟΣ ΑΝΥΜΝΕΙ-ΣΘΩ ΜΟΙ. ΑΝΤΩΝΙΟΥ.

Ὠδή α΄. Ἦχος πλ. δ΄. Ὑγράν διοδεύσας.
Καταπέμψέ μοι, Πάτερ, ἐκ τοῦ φωτός σοῦ δέομαι ἀκτῖνα μίαν φωτίζουσα σκοτασμόν ἐμόν ἵν’ ἐπαξίως σοί ἐκφέρω, ψυχῆς ἐμπόνου ᾠδήν παρακλήσεως.
Ὀλολύζουσαν, Πάτερ, πρός σέ ψυχήν, τήν ἐπιζητούσαν πρεσβείαις σαῖς παρά Λυτρωτοῦ ἔλεος, ἐλέει τῶν εὐχῶν σου, αὐτῆς εἰσάκουσον, Κοσμᾶ, καί ἐλέησον.

Σωτῆρα ἀγαπήσας ἀπό ψυχῆς, ἐμάκρυνας κόσμου, Λαύρας γενόμενος πολιστής καί ταύτης ἐρήμου Ἰορδάνου, ἥν ὡς ἀστήρ πνευματικός λαμπρῶς ἐφώτισας.

Θεοτοκίον.
Μόνη Μῆτερ Παρθένε, ὁ Ποιητής, ἐν τῇ Σῇ κοιλίᾳ ἀνεκαίνισεν συμπαθῶς, μερόπων τό γένος, μή κενώσας κόλπους πατρώους, τηρήσας Σε ἄφθορον.

Ὠδή γ΄. Οὐρανίας ἁψίδος.
Ἆρον, Πάτερ, τό σκότος ὁ τῷ φωτί ἐποχούμενος, χάριτι δέ τοῦ Παρακλήτου φώτισον ἅπαντας, τούς ἐκβοῶντας σοί τῷ Μελωδῷ μετά πόθου, φῶς ἡμῖν κατάπεμψον, Κοσμᾶ γλυκύλαλε.
Σπεῦσον, Πάτερ, καί ἴδε ἡμῶν τά πάθη καί τραύματα· σῶσον σαῖς ἁγίαις πρεσβείαις, ταχέως ἴασαι· ἵν᾽ εὐφημῶμεν σε, ὡς Ὑμνογράφων τό κλέος, Μαϊουμᾶ τόν Πρόεδρον, Λαύρας τε καύχημα.

Ὄμμα στρέψον, Κυρίου ὁ Μελωδός ὁ πανάριστος, ἐπί δεομένων ἀνάγκαις, ἡ τῶν χηρῶν ἀντίληψις, τῶν ὀρφανῶν βοηθός καί δεομένων προστάτης, Κοσμᾶ παναρμόνιε τέττιξ τοῦ Πνεύματος.

Θεοτοκίον.
Μῆτερ, ῥῦσαι, Παρθένε, ἀπό κινδύνων τούς δούλους Σου, Κοσμᾶ ἱκεσίας δεχομένη, ὅς Σέ ἠγάπησεν, μετά Θεόν ὡς πηγήν ἐμπνεύσεως τῆς θείας, πάσης ἀντιλήψεως καί ἀπολυτρώσεως.

Διάσωσον τοῦ Μελωδοῦ πρεσβείαις Παντελεῆμον, ὅτι πάντες κατόπιν Σου αὐτῷ καταφεύγομεν, ὡς ἔχοντι τήν πρός Σέ παῤῥησίαν.

Ἐπίβλεψον ἐπικαμπτόμενος Θεοτόκου καί τοῦ Ὁσίου ταῖς λιταῖς Πανοικτῆρμον, ἐφ' ἡμᾶς τούς ἀσθενεῖς καί λύτρωσαι τόν λαόν Σου.

Αἴτησις καὶ τὸ Κάθισμα.
Ἦχος β΄. Τά ἄνω ζητῶν.
Εἰκόνι Μελωδοῦ Κοσμᾶ τά νῦν προσπίτπομεν, οἱ ἐν πόνοις ψυχῆς καί θλίψεσι ὑπάρχοντες· καί διά αὐτοῦ αἰτούμεθα τό τοῦ Κυρίου ἄμετρον ἔλεος καί τήν ταχεῖαν Τούτου συνδρομήν καί τήν βεβαίαν Αὐτοῦ ἀντίληψιν.

Ὠδή δ΄. Εἰσακήκοα Κύριε.
Ἔπαθλα ὁ δεξάμενος σῶν σεπτῶν ἀγώνων ἐν Παλαιστίνῃ, μακάριε, λαοῖς διδάσκων Εὐαγγέλιον, ἡμῖν σπεῦσον εἰς ταχεῖαν ἀντίληψιν.
Λύρα θεοκίνητος καί κινύρα Πνεύματος ἐναρμόνιος καί τοῦ Λόγου λόγος ἔμμουσος, ὁ Κοσμᾶς ὁ θεῖος ἀνυμνείσθω μοι.

Ὦ Μουσῶν διάκονε, θείας μελωδίας σεπτόν μελώδημα, Μελωδέ Κοσμᾶ θεσπέσιε, τοῖς ὠσίν ἡμῶν μετάνοιαν μελώδησον.

Θεοτοκίον.
Δεῦρο, Μῆτερ Πανύμνητε, τῶν πτωχῶν ὡς μήτηρ καί τῶν παιδίων τροφός, Μελωδοῦ ταῖς παρακλήσεσι, ὡς παιδία Σῷ ἐλέει τροφοδότησον.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.
Ὅρμησον ἡμᾶς τούς προσπίπτοντας εἰκόνι σου καί αἰτουμένους Παρακλήτου φωτισμόν, εἰς λιμένα σωτηρίας, παναοίδημε.
Σπεῦσον, Μελωδέ, ὁ κανόνας συνθεσάμενος, εἰς ἐξύμνησιν Θεοῦ καί Λυτρωτοῦ, μή ἐπιλάθου τῶν τιμώντων σόν γεννέθλιον.

Ἄρον ἀφ’ἡμῶν τοῦ Βελίαρ, Πάτερ, σκάνδαλα, ἀπειράστους δέ ἀξίωσον ἡμᾶς Ἰωάννου τοῦ κλεινοῦ βιῶσαι Κλίμακα.

Θεοτοκίον.
Νεῦσον, Ἀγαθή, καί ἐπόμβρισον τῷ κλήρῳ Σου, τοῖς ἐν Λαύρᾳ ἐνασκουμένοις μοναχοῖς, τοῦ Υἱοῦ Σου ἐπομβρίαν τόν σωτήριον.

Ὠδὴ στ΄. Τήν δέησιν ἐκχεῶ.
Ὑμνοῦμεν σε, τόν ὑμνητήν τοῦ Κυρίου, πίστει θερμῇ καθικετεύοντες, μάκαρ, ἀπό δεινῶν καί σκανδάλων σήν Λαύραν, τήρησον ἄτρωτον καί ἀδιάβλητον καί σκέπασον ταῖς σαῖς λιταῖς, τούς ἐν αὐτῇ ἀσκουμένους, οὕς φύλαττε.
Μήτηρ τοῖς λαοῖς ἐφάνης θηλάσας τόν λόγον Λόγου τοῦ μόνου, ἐν Παλαιστίνῃ κηρύττων τοῖς ἀγνοοῦσι τὴν Χριστοῦ ἀγγελίαν, πατήρ ὑπάρχων πτωχῶν καὶ βοήθεια τοῦ σοῦ ποιμνίου, Μελωδέ, Θεόν κηρύττων σοῖς τρόποις καί ἤθεσι.

Νεώτατος ὑπῆλθες τῷ σώματι, τόν ζυγόν σύ τόν χρηστόν τοῦ Κυρίου, ἀποῤῥαγείς τῶν τοῦ κόσμου ματαίων καί ἐν τῇ Λαύρᾳ φυγαδεύων ἐμάκρυνας, ἔνθα τόν λόγον τοῦ Θεοῦ, μουσικωτάταις διφθέραις κατέγραψας.

Θεοτοκίον.
Ἐπίβλεψον τούς νυσταγμῷ βαρυνθέντας καί μητρικῇ Σου ἔγειρον προστασίᾳ καί μή δώῃς ὑπνῶσαι Σούς δούλους, Μῆτερ Ἁγία Παρθένε, εἰς θάνατον· Σέ γάρ μετά τόν Μελωδόν , προστάτην βίου κηρύττομεν, Δέσποινα.

Διάσωσον ταῖς Μελωδοῦ ἱκεσίαις Παντελεῆμον, ὅτι πάντες κατόπιν Σου αὐτῷ καταφεύγομεν, ὡς ἔχοντι τήν πρός Σέ παῤῥησίαν.

Ἐπίβλεψον ἐπικαμπτόμενος Θεοτόκου καί τοῦ Ὁσίου ταῖς λιταῖς Πανοικτῆρμον, ἐφ’ ἡμᾶς τούς ἀσθενεῖς καί λύτρωσαι τόν λαόν Σου.

Αἴτησις καὶ τὸ Κοντάκιον.
Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.
Μεσιτείᾳ θείᾳ Μητρός Σου, Πολυέλεε, ἱκεσίαις Ὁσίου θερμαῖς καί δεήσεσι, τῷ Σῷ λαῷ ἐπίβλεψον καί σῶσον ἡμᾶς· ἡμάρτομέν Σοι, Ἀγαθέ, καί παροργίζομεν ἀεί, Σήν μεγίστην ἀγαθότητα· δέχου τήν μεσιτείαν τῆς παναχράντου Μητρός Σου, ἐπικαμπτόμενος, Σωτήρ, μητρικαῖς Αὐτῆς δεήσεσι.

Προκείμενον.
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.
Στ. Τὶ ἀνταποδώσωμεν τῷ Κυρίῳ, περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον (Κεφ. ια΄ 27-30).
Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς. Πάντα μοι παρεδόθη ὑπό τοῦ Πατρός μου καί οὐδείς ἐπιγινώσκει τόν Υἱόν, εἰμή ὁ Πατήρ. Οὐδέ τόν Πατέρα τις ἐπιγινώσκει, εἰμή ὁ Υἱός καί ᾧ ἐάν βούληται ὁ Υἱός ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καί πεφορτισμένοι, κἀγώ ἀναπαύσω ὑμᾶς. Ἄρατε τόν ζυγόν μου ἐφ᾽ ὑμᾶς καί μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾶος εἰμί καί ταπεινός τῇ καρδίᾳ καί εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γάρ ζυγός μου χρηστός καί τό φορτίον μου ἐλαφρόν ἐστι.

Δόξα.
Ταῖς τοῦ Σοῦ Ὁσίου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.
Καὶ Νῦν.
Ταῖς τῆς Θεοτόκου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.
Στίχ. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...
Προσόμοιον.
Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.
Δεῦτε, Μελωδόν τά νῦν, Σάββα τῆς Λαύρας πολίτην, ἐν ὕμνοις τιμήσωμεν, οἱ αὐτῷ προσπίπτοντες μετά

πίστεως· τῷ Θεῷ οὗτος γάρ, ὑπέρ λαοῦ ἅπαντος, μετά ζέσεως προσδέεται, ἐπικαλούμενος ἐφ’ ἡμᾶς Κυρίου τό ἔλεος καί Τούτου τήν σωτήριον ἐπί τοῖς δεομένοις βοήθειαν· χαῖρε ἐκβοῶντες, δοχεῖον τοῦ Κυρίου ἐκλεκτόν καί τῆς Αὐτοῦ παρατάξεως Ὑμνογράφε τίμιε.

Ὠδή ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἴασαι τούς ὑμνοῦντας καί ἐν χαρᾷ τιμῶντας σήν θείαν μνήμην, Σοφέ· εὐδόκησον εὐχαῖς σου καί πρός Θεόν πρεσβείαις, ἵν᾽ εὐγνωμόνως βοήσωμεν· ὁ τῶν Πατέρων ἡμῶν Θεός, εὐλογητός εἶ.

Σωτῆρα ἰδεῖν ποθοῦντες, αἰτούμεθα ἐν ὥρᾳ τῆς παρουσίας Αὐτοῦ, εὐχῶν σου τῇ πρεσβείᾳ καί πρός Αὐτόν δεήσει, ἵν᾽ εὐγνωμόνως βοήσωμεν· ὁ τῶν Πατέρων ἡμῶν Θεός, εὐλογητός εἶ.

Θεοῦ πτωχοῖς ἱκέταις, ἐπόμβρισον ῥανῖδα Αὐτοῦ ἐλέους, ὡς σοί ἐδέχθης τῷ νοΐ σου καί τῇ ψυχῇ, Θεόφρον, ἵν᾽ εὐγνωμόνως βοήσωμεν· ὁ τῶν Πατέρων ἡμῶν Θεός, εὐλογητός εἶ.

Θεοτοκίον.

Ὡραῖος ἐναντίον Κυρίου τοῦ Υἱοῦ Σου ἐφάνη, Μῆτερ Ἁγνή, ὁ βίος τοῦ Ὁσίου Κοσμᾶ τοῦ Ὑμνογράφου, διό εὐγνωμόνως καί κράζομεν· ὁ τῶν Πατέρων ἡμῶν Θεός, εὐλογητός εἶ.

Ὠδὴ η΄. Τὸν Βασιλέα.
Μονὴν με δεῖξον Πνεύματος Παρακλήτου καὶ καταγώγιον τῶν ἀρετῶν, Θεόφρον, ὅπως τύχω, Πάτερ, ζωῆς τῆς αἰωνίου.
Ὁδὸν καὶ πύλην ἄνοιξον μετανοίας, καὶ πρὸς ὁδοὺς ὁδήγησον σωτηρίας, ὁ ὁδηγήσας αἱρετικοὺς εἰς πίστιν.

Ἰδεῖν Κυρίου πρόσωπον ἱλαρόν τε, ἐν τῇ τῆς Κρίσεως ἡμέρᾳ αἰτοῦμεν, ταῖς σαῖς πρεσβείαις θεοπειθέσι, Πάτερ.

Θεοτοκίον.
Αὔγασον, Κόρη, ταῖς τοῦ Ὁσίου πρεσβείαις, ἡμῶν τὸν βίον, τῶν Σοὶ δεομένων, ὁδηγοῦσα ἄνω τὰς τοῦ νοὸς κινήσεις.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.
Νίκην κατὰ Βελίαρ βράβευσον τοῖς βοῶσι καὶ σοὶ προστρέχουσι, Πάτερ, καὶ μέλπουσι, ὡς παρρησίαν ἔχων Κυρίῳ Ἄνακτι.
Τοῦ ταῦτα στιχουργοῦντος ἀτέχνως, πλὴν ἐκ πόθου, ψυχὴν ἀθλίαν καὶ βίον παγκάκιστον, εἰς μελῳδίαν Κυρίου μετάβαλε.

Ὡράϊσον εἰκόνα ἥν μεμολυσμένην, ἐν ἁμαρτίας βορβόρῳ προσφέρω Θεῷ, ἵν’ ἀσιγήτως τιμῶ Σε, τῆς Λαύρας ἔφορε.

Ἴασιν παράσχου ψυχαῖς τῇ ἁμαρτίᾳ μεμολυσμέναις, βαλσάμῳ τοῦ Πνεύματος προχέων ῥύακα ζωῆς, Συρίας ἔκγονε.

Νικῆσαι τοῦ Βελίαρ, πρεσβείαις Ἱεράρχου καί ἱκεσίαις Πατέρων ἐλπίζομεν, ὡς τοῦ Κυρίου γεγονότος θεράποντος.

Ἰδεῖν τῆς Βασιλείας Κυρίου τῷ ἀπροσίτῳ, ζωοποιῷ τε φωτί νῦν αἰτούμεθα, τοῦ Μελωδοῦ ταῖς ἐνθέρμοις δεήσεσι.

Ὅρους θεσμοθεσίας Πατέρων τῶν Ἁγίων ἡμῖν ἐκδίδαξον, Πάτερ ἀοίδημε, ἐν Παλαιστίνῃ ὡς πάλαι πᾶσι ἐδίδαξας.

Θεοτοκίον.
Ὑμεῖς μέν Θεοτόκε, ἀνυμνολογοῦντες Σήν δόξαν θείαν καί αἴγλην οὐ παύομεν· Σύ δέ ὡς Μήτηρ ἡμᾶς κατοικτήρισον.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τήν Θεοτόκον, τήν ἀειμακάριστον καί παναμώμητον καί μητέρα τοῦ Θεοῦ ἡμῶν. Τήν τιμιωτέραν τῶν Χερουβείμ καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τήν ὄντως Θεοτόκον Σε μεγαλύνομεν.

Καὶ τὰ παρόντα Μεγαλυνάρια,
Χαίροις τῆς Συρίας θεῖος βλαστός, Λαύρας τοῦ

σεμνείου τό ἀπάνθισμα τό σεπτόν· χαίροις Παλαιστίνης τό ἐξανθήσαν ἴον, Μαϊουμᾶ τρισμάκαρ, Κοσμᾶ Ἐπίσκοπε.
Χαίροις Παλαιστίνης ὁ φωτιστής, ὁ πτωχῶν καί παίδων εὐεργέτης καί ὁδηγός· χαίροις Ἰωάννου Δαμασκηνοῦ τοῦ θείου συνασκητής ἐν Λαύρᾳ, Μουσῶν διάκονε.

Χαίροις ἡσυχίας ὁ ἐραστής, ἐρήμου Ἰορδάνου ἐν ἡσυχίᾳ ὁ οἰκιστής· χαίροις ὁ ἀγάπῃ πλησίον τετρωμένος, δι’ ἥν τήν ἡσυχίαν τῷ λόγῳ ἥνωσας.

Χαίροις ὁ ἐπικύπτων ἐξ’ οὐρανῶν, οἰκονομῆσαι χρείας, τῶν βοώντων σοι ἐκ ψυχῆς, μετά τοῦ σοῦ συνάθλου Δαμασκηνοῦ τοῦ θείου, μεθ’οὗ καί ἱκετεύεις τόν Πανοικτήρμονα.

Σκέπε, διαφύλαττε τούς τήν σήν μνήμην ἐν τῇ Λαύρᾳ νῦν τιμῶντας καί τό αὐτῶν σκέπασον σεμνεῖον σαῖς χερσί πανιέραις καί πύλας Βασιλείας αὐτοῖς διάνοιξον.

Δέχου ἱκετήριον νῦν ᾠδήν, ἔπειδε ἐπί πόνον καί ἐπί ἄλγος ἐμῆς ψυχῆς καί ῥύου τῆς γεέννης καί δεινοτάτου ἐρέβους, φωτίζων σαῖς ἀκτῖσι τόν σέ ὑμνήσαντα.

Τό Μεγαλυνάριον τοῦ Ἁγίου τοῦ Ναοῦ ἤ τοῦ Ἁγίου τῆς ἡμέρας. Καί κλείομεν μετά τοῦ·

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον
καί τά Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.
Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γάρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τήν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.
Δόξα.
Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοί γάρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καί νῦν ὡς εὔσπλαχνος καί λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σύ γάρ εἶ Θεός ἡμῶν καί ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καί τό ὄνομά Σου ἐπικεκλήμεθα.
Καί νῦν.
Τῆς εὐσπλαχνίας τήν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων· Σύ γάρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τα ἑξῆς·
Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.
Πάντας τούς προσφεύγοντας πιστῶς, ὑπό τήν σήν σκέπην καί χάριν, Κοσμᾶ σεπτέ Μελωδέ, ῥύου πάσης θλίψεως καί περιστάσεως· τῶν παθῶν δέ διάλυσον τόν σάλον· πταιόντων πάντων προσδεχόμενος ᾠδήν ἱκέσιον· σύ γάρ τῆς Συρίας ὑπάρχεις καί τῆς Λαύρας

Σάββα προστάτης, πάντων δέ πιστῶν σεπτόν ἐντρύφημα.
Δέσποινα, πρόσδεξαι τάς δεήσεις τῶν δούλων Σου καί λύτρωσαι ἡμᾶς, ἀπό πάσης ἀνάγκης καί θλίψεως.

Τήν πᾶσαν ἐλπίδα μου εἰς Σέ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπό τήν σκέπην Σου.

Δί' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν,
Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς.
Ἀμήν.

Στίχοι·
Γράψαντα πτωχόν καί πένητα τοῖς ἔργοις
Ἀντώνιον, ὁδήγησον εἰς μετανοίας τρίβους,
ἵνα μή θέλων εὑρεθῇ ἔξω τῆς Βασιλείας,
ὡς ἄλλοτε οἱ τῆς Κιβωτοῦ ἐργάται, ἐπί Νῶε,
οἵ ἔκτισαν τήν Κιβωτόν εἰς σωτηρίαν ἄλλων,
αὐτοί δέ οὐκ ἐσώθησαν, ἐπεί οὐκ εἰσῆλθαν ὅλως.

